# TEZAUR LITURGIC

## 18 MAI

## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.MUCENIC HERACLIE DE LA TROADA

ATENA,2015


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 18 ΜΑΪΟΣ
# ΗΡΑΚΛΕΙΟΣ ΜΑΡΤΥΣ & ΣΥΝ ΑΥΤΩ͂ ΕΠΤΑ ΜΑΡΤΥΡΩΝ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ είς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι είς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς κληρονόμος τῆς ζωῆς τῆς ἀλήκτου, καὶ κοινωνὸς τῆς ὑπὲρ νοῦν εὐφροσύνης, Μεγαλομάρτυς Ἅγιε Ἡράκλειε, πάσης ἡμᾶς λύτρωσαι, δυσπραγίας καὶ λύπης, καὶ πάσης κακώσεως, καὶ σκανδάλων παντοίων, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου σοφέ, ὡς ἀντιλήπτωρ, ἡμῶν καὶ ὑπέρμαχος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Σὺ εἶ Ἡράκλειε ἡμῶν φύλαξ. Γερασίμου..*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Στεφάνῳ κοσμούμενος τῆς ζωῆς, Ἡράκλειε Μάρτυς, καθικέτευε ἐκτενῶς, ἐκ πάσης λυτροῦσθαι ἐπηρείας, τοὺς ἀδιστάκτῳ ψυχῇ προσιόντας σοι.

Ὑψίστου τῷ θρόνῳ παρεστηκώς, ὕψωσον τὸν νοῦν μου, τῆς γεώδους ἐπιφορᾶς, Ἡράκλειε Μάρτυς τοῦ Σωτῆρος, καὶ πρὸς ἀγάπην αὐτὸν θείαν πτέρωσον.

Ἐκ πάσης ἀνάγκης ῥύου ἡμᾶς, Ἡράκλειε Μάρτυς, τῇ θερμῇ σου ἐπισκοπῇ, τοὺς πίστει καὶ πόθῳ προσιόντας, τῇ πρὸς Χριστὸν ἱκεσίᾳ σου Ἅγιε.

*Θεοτοκίον.*

Ἰσχὺν ἡμῖν δίδου κατὰ παθῶν, κεχαριτωμένη, Θεοτόκε Μῆτερ Χριστοῦ, καὶ σύντριψον πᾶσαν τὴν μανίαν, τὴν καθ' ἡμῶν κινουμένην τοῦ ὄφεως.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἡ θερμή σου πρεσβεία πρὸς τὸν Χριστον γένοιτο, τεῖχος καὶ ἀντίληψις θεία, καὶ ἱλαστήριον, Μάρτυς Ἡράκλειε, τοῖς ἀληθῆ σε προστάτην, κεκτημένοις Ἅγιε, καὶ ἀντιλήπτορα.

Ῥῶσιν σώματος δίδου καὶ ψυχικὴν ἴασιν, καὶ πειρατηρίων παντοίων τὴν ἀπολύτρωσιν, Μάρτυς Ἡράκλειε, τοῖς εὐλαβῶς προσιοῦσι, ταῖς σαῖς ἀντιλήψεσι, καὶ σὲ γεραίρουσι.

Καθελὼν ἐναθλήσας τὴν τοῦ ἐχθροῦ ἔπαρσιν, τούτου καθ' ἡμῶν τὴν μανίαν, Μάρτυς κατάργησον, καὶ βίον ἤρεμον, δίδου ἡμῖν διανύειν, ἔνδοξε Ἡράκλειε, καθικετεύομεν.

*Θεοτοκίον.*

Ἀειπάρθενε Κόρη ἡ τὸν Θεὸν τέξασα, καὶ τῆς ἁμαρτίας τὴν ζάλην ἐξαφανίσασα, τὸν νοῦν μου

λύτρωσαι, τῆς ἐμπαθοῦς συνηθείας, καὶ τῆς μετανοίας με, φωτὶ καταύγασον.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Ἡράκλειε Ἀθλοφόρε, πάσης βλάβης καὶ πειρασμῶν τε καὶ θλίψεων, τοὺς ἀνυμνοῦντας τὰς θείας σου ἀριστείας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Χριστοῦ Ἀθλητὰ Ἡράκλειε ἀήττητε, δυσώπει ἀεί, λυτροῦσθαι πάσης θλίψεως, τοὺς πίστει σε γεραίροντας, καὶ πταισμάτων διδόναι συγχώρησιν, καὶ κινδύνων δεινῶν ἀπαλλαγήν, τοὺς σπεύδοντας Μάρτυς τῇ σῇ χάριτι.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Λαμπρυνόμενος χάριτι, Ἅγιε Ἡράκλειε τῆς ἀθλήσεως, σκοτασμοῦ παθῶν ἀπάλλαξον, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Ἐξ ἐχθρῶν ἀοράτων με, τῆς μανίας λύτρωσαι Μάρτυς ἔνδοξε, καὶ ἀνδρῶν συκοφαντούντων με, ἅπασαν ἐπίνοιαν διάλυσον.

Ἴδε ταύτην τὴν πόλιν σου, τὴν ἀνακειμένην τῇ προστασίᾳ σου, καὶ παράσχου ταύτῃ Ἅγιε, τῶν σῶν ἀντιλήψεων τὰς χάριτας.

*Θεοτοκίον.*

Ἐκ γαστρός Σου ἀνέτειλε, τῆς δικαιοσύνης Κόρη ὁ Ἥλιος, οὗ ταῖς αἴγλαις φωταγώγησον, τὴν ἐσκοτισμένην μου διάνοιαν.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἤθλησας στεῤῥῶς, καὶ καθεῖλες τὸν ἀντίπαλον, οὗ τῆς ῥύμης ἀπολύτρωσαι ἡμᾶς, τοὺς προστρέχοντας Ἡράκλειε τῇ σκέπῃ σου.

Μέγας ἀρωγός, Ἡρακλείου ὤφθης πόλεως· διὰ τοῦτο οἱ ἐν ταύτῃ εὐσεβεῖς, καταφεύγομεν Ἡράκλειε τῇ σκέπῃ σου.

Ὥσπερ ἀθλητης, τοῦ Χριστοῦ ἀκαταγώνιστος, ἀγωνίζεσθαι καλῶς δίδου ἰσχύν, τοῖς ὑμνοῦσί σε Ἡράκλειε πανθαύμαστε.

*Θεοτοκίον.*

Νέκρωσον ἁγνή, τῆς σαρκός μου τὰ κινήματα, ἡ τεκοῦσα τὴν ζωὴν τὴν ἀληθῆ, τὴν νεκρώσασαν τὸν ὄφιν τὸν ἀρχέκακον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Φωστῆρά σε, εὐσεβείας εἰδότες, ὦ Ἡράκλειε Χριστοῦ Ἀθλοφόρε, ἀπὸ ψυχῆς σοι βοῶμεν παμμάκαρ· δίδου ἡμῖν φωτισμὸν θείας χάριτος, καὶ τὰ νυκτώδη ἀφ' ἡμῶν, τῶν παθῶν ἀποδίωξον φάσματα.

Ὑδάτων, πεπληρωμένος ἀΰλων, τῶν τοῦ Πνεύματος πλουσίων χαρίτων, βλῦσον ἡμῖν ζωῆς ὕδωρ τὸ θεῖον,

ταῖς ἐπομβρίαις τῶν σῶν παρακλήσεων, Ἡράκλειε τοῖς ἐν δεινῇ, τῶν παθῶν ἀνομβρίᾳ στενάζουσι.

Λεόντων, τῶν νοητῶν καθ' ἑκάστην, καθ' ἡμῶν ὠρυομένων τὰς μύλας, τῇ σιδηρᾷ σου πρεσβείᾳ καὶ θείᾳ, σύντριψον θᾶττον παμμάκαρ Ἡράκλειε, καὶ διατήρησον ἡμῶν, τὴν ζωὴν ἐν εἰρήνῃ δεόμεθα.

*Θεοτοκίον.*

Ἀγγέλων, ἁγιωτέρα ὑπάρχεις, ἀσυγκρίτως Θεοτόκε Παρθένε, ὡς τετοκυῖα τὸν τούτων Δεσπότην· ὅθεν κἀμὲ παντὸς ἄγους ἀπόπλυνον, καὶ ἁγιότητα ζωῆς, γεωργεῖν με ἐνίσχυσον ἄχραντε.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Ἡράκλειε Ἀθλοφόρε, πάσης βλάβης καὶ πειρασμῶν τε καὶ θλίψεων, τοὺς ἀνυμνοῦντας τὰς θείας σου ἀριστείας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τοῖς ἱεροῖς σου ἀγῶσιν Ἡράκλειε, μαρτυρικῶν δωρεῶν κατηξίωσαι, ἐξ ὧν ἡμῖν δίδου ἑκάστοτε, τοῖς σὲ θερμὸν ἀντιλήπτορα ἔχουσιν, αἰτούμενος πᾶσι θεῖον ἔλεος.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Μαρτυρικόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἔχων πρὸς τὸν Κύριον, μαρτυρικὴν παῤῥησίαν, Ἀθλητὰ Ἡράκλειε, ὃν λαμπρῶς ἐκήρυξας καὶ ἐδόξασας, ἐκτενῶς πρέσβευε, σὺν τοῖς σοῖς συνάθλοις, τῶν πταισμάτων δοῦναι ἄφεσιν, καὶ ἀπολύτρωσιν, πάσης συμφορᾶς καὶ κακώσεως, ἡμῖν τοῖς εὐφημοῦσί σε, καὶ τὴν σὴν ζητοῦσι βοήθειαν· σὺ γὰρ ἡμῶν πρέσβυς, καὶ ἕτοιμος μεσίτης πρὸς Χριστόν, καὶ ἀῤῥαγὲς περιτείχισμα, ταύτης τῆς μερίδος σου.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ξένος ὤφθης τοῦ κόσμου τῇ στεῤῥᾷ σου ἀθλήσει Μάρτυς Ἡράκλειε, καὶ ξένων χαρισμάτων, παρὰ Χριστοῦ μετέσχες, περιέπων τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Γενναιότητι γνώμης κατεπάλαισας Μάρτυς τὸν πολυμήχανον· ἐντεῦθεν ἀπαλλάττεις, αὐτοῦ τῆς ἐπηρείας, τοὺς βοῶντας Ἡράκλειε· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν τῇ σῇ προστασίᾳ ἡ παροῦσά σου πόλις καυχᾶται Ἅγιε, καὶ πίστει καταφεύγει, τῇ σῇ ἐπιστασίᾳ,

ἐκβοῶσα Ἡράκλειε· σύ μου ταχὺς βοηθός, καὶ πύργος ἀσφαλείας.

*Θεοτοκίον.*

Ῥυπωθεὶς ἁμαρτίας τοῦ Θεοῦ ἐμακρύνθην ὁ ἄνους Δέσποινα· ἀλλὰ Σὺ Θεοτόκε, ἀπόπλυνόν με αὖθις, καὶ Χριστῷ με οἰκείωσαι, τῷ Σῷ εὐσπλάγχνῳ Υἱῷ, ἵνα Σε μεγαλύνω.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἀθλήσας Μάρτυς, καὶ δοξασθεὶς κατ᾽ ἀξίαν, ἀδοξίας με παθῶν τῶν ἀκαθάρτων, κάθαρον λιταῖς σου, Ἡράκλειε θεόφρον.

Σκέπη καὶ τεῖχος, γενοῦ Ἡράκλειε Μάρτυς, τῆς τῇ κλήσει σου πόλεως καυχωμένης, ἐξ αὐτῆς διώκων, τὴν συστροφὴν σκανδάλων.

Ἴασαι Μάρτυς, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ ἀνάστειλον τὴν ῥύμην ἁμαρτίας, δι᾽ ἧς καθυπείκω, ἐχθροῦ τῇ τυραννίδι.

*Θεοτοκίον.*

Μῆτερ Κυρίου, καὶ ἀειπάρθενε Κόρη, τὴν ῥυπῶσάν μου καρδίαν ἐμπαθείᾳ, πλῦνον δυσωπῶ Σε, ἐλέους Σου τοῖς ῥείθροις.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Οἱ πίστει προσιόντες, τῇ σῇ προστασίᾳ, τῶν αἰτημάτων καρποῦνται τὴν πλήρωσιν, καὶ εὐφροσύνης πληροῦνται θείας Ἡράκλειε.

Οὐράνωσον τὸν νοῦν μου, θείᾳ ἀγαπήσει, Μεγαλομάρτυς Ἡράκλειε ἔνδοξε, καὶ τῶν πταισμάτων μου αἴτει Μάρτυς τὴν ἄφεσιν.

Ὑμνοῦντές σου τοὺς ἄθλους, Μάρτυς ἐκβοῶμεν· πλήρου ἡμῶν τὰ αἰτήματα ἅπαντα, ἡμῖν εἰρήνην βραβεύων καὶ χάριν ἄνωθεν.

*Θεοτοκίον.*

Ὑπέραγνε Παρθένε, Μῆτερ τοῦ Κυρίου, τὴν ἄναγνόν μου καρδίαν καθάγνισον, καὶ μετανοίας ἀκτῖσι τὸν νοῦν μου λάμπρυνον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίρων ὡμολόγησας τὸν Χριστόν, πρὸ κριτῶν ἀδίκων, καὶ ἠγώνισαι καρτερῶς, πολλῇ εὐτολμίᾳ, Ἡράκλειε θεόφρον· διὸ καὶ ἀφθαρσίας, στέφανον εἴληφας.

Ῥαβδισμοῖς τὸ σῶμά σου στομωθέν, Ἡράκλειε Μάρτυς, ξίφος ὤφθης ὡς ἀληθῶς, τῶν ἐχθρῶν συγκόπτον, τὸ σθένος καὶ τὸ θράσος, μαρτυρικοῖς ἀγῶσι, Πνεύματος χάριτι.

Φέρων τὸ οὐράνιον θεῖον πῦρ, οὐδολως ἐφλέχθης, ἐν καμίνῳ τῇ τοῦ πυρός· διὸ ἡμῶν φλέξον, ἀκάνθας

ἁμαρτίας, πυρὶ τῶν πρεσβειῶν σου, Μάρτυς Ἡράκλειε.

Χαίροις πολιοῦχος καὶ ἀρωγός, τῆς σεμνυνομένης, τῇ σῇ κλήσει ὡς ἀληθῶς, πόλεως θεόφρον, Ἡράκλειε ἣν ῥύου, ἐκ πάσης δυσπραγίας, καὶ περιστάσεως.

Ἄνθος ἐκ τῆς πόλεως Ἀθηνῶν, εὐῶδες ἐφύης, καὶ διέπνευσας μυστικῶς, κόσμῳ εὐωδίαν, Ἡράκλειε τὴν θείαν, ἀθλητικοῖς ἀγῶσι, Πνεύματος χάριτι.

Πάσης δυσχερείας καὶ συμφορᾶς, ἀπάλλαττε Μάρτυς, καὶ στενώσεων χαλεπῶν, καὶ παντοίας νόσου, Ἡράκλειε λιταῖς σου, τοὺς πίστει προσιόντας, τῇ προστασίᾳ σου.

Πίστει στρατευσάμενοι τῷ Χριστῷ, θεόπλοκος δῆμος, καὶ γεννῖος συνασπισμός, ὤφθητε ἐν ἄθλοις, ὀκτάριθμοι ὁπλῖται, ἐχθρῶν τὰς παρατάξεις, περιτρεψάμενοι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ

λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μὴ ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Ἄθλοις, διαπρέψας ἱεροῖς, τῶν ὑπερκοσμίων ἐπάθλων, Μάρτυς Ἡράκλειε, παρὰ τοῦ παντάνακτος, Χριστοῦ ἠξίωσαι, ὃν δυσώπει δεόμεθα, ἐκ πάσης ἀνάγκης, καὶ παθῶν καὶ θλίψεων, καὶ νόσων ῥύεσθαι, πάντας τοὺς πιστῶς προσιόντας, τῇ σῇ προστασίᾳ καὶ σκέπῃ, καὶ ὑμνολογοῦντας τοὺς ἀγῶνάς σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

